τοῦ εἰδέναι, τὸ δ', ἐπιςήμην; ΓΟΡ. Πάνυ γε. ΣΩ. Ποτέραν οὖν ἡ ῥητορικὴ πειθὼ ποιεῖ ἐν δικαςηρίοις τε καὶ τοῖς ἄλλοις ὄχλοις, περὶ τῶν δικαίων τε καὶ ἀδίκων; ἐξ ἧς τὸ πιςεύειν γίγνεται ἄνευ τοῦ εἰδέναι, ἢ r) ἐξ ἧς τὸ εἰδέναι; ΓΟΡ. Δῆλον δήπου, ὦ Σώκρατες, ὅτι ἐξ ἧς τὸ πιςεύειν. ΣΩ. Ἡ ῥητορικὴ ἄρα s), ὡς ἔοικε, πειθοῦς δημιουργός ἐςι πιςευτικῆς, ἀλλ' οὐ διδασκαλικῆς, περὶ τὸ δίκαιόν τε καὶ ἄδικον. ΓΟΡ. Ναί. ΣΩ. Οὐδ' ἄρα διδασκαλικὸς ὁ ῥήτωρ ἐςὶ δικαςηρίων τε καὶ τῶν ἄλλων ὄχλων, δικαίων τε πέρι καὶ ἀδίκων t), ἀλλὰ πιςικὸς v) μόνον. οὐ γὰρ δήπου ὄχλον γ' ἂν δύναιτο τοσοῦτον ἐν ὀλίγῳ χρόνῳ διδάξαι οὕτω μεγάλα πράγματα. ΓΟΡ. Οὐ δῆτα. ΣΩ. Φέρε δὴ, ἴδωμεν τί ποτε καὶ λέγωμεν a) περὶ τῆς ῥητορι-

r) Cod. vterque ἢ καὶ. bene. Ibidem pro δήπου post Δῆλον erat οὖν.

s) Post particulam ἄρα Cod. vterque insertum habebat ὦ γοργία. Caeterum Aristides Orat. Platon. I. p. 47. discriminis a Platone hic inter πειθὼ πιςευτικὴν et διδασκαλικὴν facti mentionem facit. Reiskius ibi malebat e Cod. Barocc. legi πιςικῆς.

t) Librarius Cod. Aug. rursus scripserat verba superiora ἐξ ἧς τὸ πιςεύειν — καὶ ἀδίκων· sed ipse hunc errorem notauit inclusitque haec verba hac figura † †.

v) Stephanus maluit πειςικὸς, quod illi etiam praefert Fabricius ad Sext. Empir. adu. Mathemm. 2, 75. qui in Codd. Sexti Empir. rhetorices definitionem ante commemoratam laudantis atque Platoni tribuentis scriptum reperit πειςικὸς pro edito πιςικός. Dubitauit tamen Stephanus de coniecturae suae veritate.

a) Particula καὶ ante λέγωμεν redundat. Suadente autem Stephano mutaui λέγομεν in λέγωμεν. Libri editi cum Codice vtroque Indicatiuum tuentur. Mox particula γὰρ comitem suum που in Cod. vtroque omiserat.